## III. [6587—1079], mense martio, ind. II.

*Sanctus Christodulus, infirmitate et incursionibus Turcarum coactus excedere e monasterio Stylo in monte Latro, committit moderationem coenobii monachis Sabae et Lucae.*

† Ἔνταλμα γενάμενον παρὰ Χριστοδούλου μοναχοῦ καὶ καθηγουμένου τῆς ἐν τῷ ὄρει τοῦ Λάτρου μονῆς τοῦ Στύλου καὶ ἐπι-[δοθὲν] Σάβᾳ, τῷ τιμιωτάτῳ μοναχῷ καὶ ἐν κυρίῳ πατρὶ ἡμῶν, καὶ Λουκᾷ, μοναχῷ καὶ οἰκονόμῳ τῆς αὐτῆς μονῆς τοῦ Στύλου, μηνὶ μαρτίῳ, ἰνδικτιῶνος β †.

† Ἐπεὶ τὴν ἐπιστασίαν τῆς ἐν τῷ ὄρει τοῦ Λάτρου μονῆς τοῦ Στύλου ἀνεδεξάμην καὶ διὰ τὴν τῶν πραγμάτων ἀνωμαλίαν καὶ τὴν ἐνοῦσάν μοι ἀσθένειαν οὐ δυνατῶς ἔσχον τῇ λαχούσῃ μοι σεβασμίᾳ μονῇ ἐνδιατρίψαι καὶ δι' ἑαυτοῦ τὴν ποιμαντικὴν ἐπιδείξασθαι, ἀλλὰ διὰ τὴν ἐμὴν ἀδυναμίαν, καὶ μὴν καὶ δι' ἑτέρας ἀναγκαιοτάτας δουλείας οὐ τήνδε τὴν καθ' ὑμᾶς μονὴν μόνην ὠφελούσας, ἀλλ' ἤδη καὶ ὅλον τὸ ὄρος κοινῶς, ἀποδημεῖν μὲν ἡμεῖς ἐκβιαζόμεθα. ὃ δὲ λεῖπόν ἐστι, δι' ἑτέρων τὰ κοινῇ λυσιτελοῦντα τοῖς πνευματικοῖς πατράσιν ἡμῶν καὶ ἀδελφοῖς ἐπιμνηστεύεσθαι προθυμούμεθα. καὶ διὰ ταῦτα δύο τῶν ἄλλων μοναχῶν ἀποκρίναντες, ἤγουν σέ, τὸν σεβασμιώτατον μοναχὸν καὶ πατέρα μου, κῦριν Σάβαν, καὶ σέ, τὸν εὐλαβέστατον μοναχὸν Λουκᾶν, τῷ μὲν τὴν τῶν ψυχῶν ἐναπιστεύσαμεν ἐπιμέλειαν, τῷ δὲ Λουκᾷ τὴν τῶν πρ[αγμάτων τῆς μονῆς φροντίδα
. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . πᾶ]σαν
τὴν δεδομένην μοι ἀπὸ τῶν ἱερῶν κανόνων [ἐξουσ]ίαν ἐπὶ τοῖς . . . . . . .
ἀδελ]φῶν . . . . ἔχῃς. ὁ δὲ μοναχὸς Λουκᾶς τὴν τῶν πραγμάτων τῆς μονῆς καὶ
τῶν διαφόρων . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . τὰ πάντα εἰς
τὴν ἀναφ . . . . . ε . . . σιν. δέον ὑμᾶς μετὰ φόβου θεοῦ τὰς ἀνατεταγμένας . .
. . . . . . . . . . . ., σοὶ μέν, τῷ ὁσιωτάτῳ μοναχῷ καὶ πατρί μου, κυρῷ
Σάβᾳ, δι' ἐπιμελείας γίνεσθαι ἀδιαλείπτου τὸν τῶν ἀτάκτων μοναχῶν ἐπιστηριγμὸν καὶ τὴν τῶν ψυχικῶν σφαλμάτων διόρθωσιν, ἀδείας σοι ἐκχωρηθείσης παρ' ἡμῶν,
μὴ μόνον ἐπιτ[. . . αὐ]τοῖς ἐπιτιμίων . . . . . . ἀλλ' εἴ ποτέ τις τῶν ἀδελφῶν μὴ τῷ κανόνι τῶν μοναχῶν στοιχοίη καὶ τὴν πρέπουσαν μοναχοῖς φ . . .
σασιν, ἀλλ' ἐναντία τῆς πνευματικῆς φρονοίη διαγωγῆς, νουθετεῖν μὲν . . . .
. . . . . . . . . . . . ἀπάγειν καὶ ἐπιστρέφειν πρὸς τὸ καλόν. εἰ δέ γε
ἀδιόρθ[ωτος μ]έν[ει] μετὰ δευτ[έραν] καὶ τ[ρίτην π]αρ[αίνεσιν], ἐξωθεῖν αὐτὸν τῆς

μονῆς καὶ ὡς μέλος σεσηπὸς τοῦ σώματος ἐκκόπτειν τῶν ἀδελφῶν, ἵνα μὴ καιραίτιος διαστροφῆς καὶ τοῖς ἄλλοις γίνηται, δέον σε παρασκευάζειν πάντας εἰς σὲ τοὺς λογισμοὺς αὐτῶν ἀναφέρειν καὶ μὴ ἀπόκρυφον ἔχειν ἀπὸ σοῦ νόημα· ὥσπερ γὰρ ἡμῖν ἀπὸ τῶν κανόνων δέδοται τοῦτο, οὕτω [καὶ πρὸς] σὲ τὴν ἐξουσίαν τ[αύτη]ν μεταβιβάζομεν. καὶ ὃς τῶν ἀδελφῶν μὴ θέλοι πατέρα σὲ ἔχειν ἀνθ' ἡμῶν καὶ ἐξομολογεῖσθαί σοι τοὺς ἐνοχλοῦντας αὐτῷ λογι[σμούς], οὐ τῆς μερίδος ἔσται τῶν ἀδελφῶν, ἀλλ' ὡς τῆς πνευματικῆς ζεύγλης ἐκτὸς καὶ τοῦ σώματος τῶν ἀδελφῶν γενήσεται ἀλλότριος, δέον σε μή τινα τῶν ἀδελφῶν ἐᾶν τῶν συνάξεων ἀπολιμπάνεσθαι ἄνευ σωματικῆς ἀρρωστίας ἢ ἀσχολίας τοῦ ἐνεργεῖν τινα διακονίαν, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ τῆς ἐκκλησιαστικῆς φροντίζειν ἀκολουθίας· καὶ σὺ μὲν ὁ κῦρις Σάβας καὶ πατὴρ ἡμῶν τοιαύτην ἕξεις τὴν ἐξουσίαν καὶ ἀνθ' ἡμῶν καθηγ[ήσῃ] τοῖς μοναχοῖς τῶν εἰς ψυχὴν συντεινόντων. ἐκεῖ δὲ καὶ σοί, τῷ εὐλαβεῖ μοναχῷ Λουκᾷ, τὴν οἰκονομίαν τῶν διαφερόντων τῇ καθ' ἡμᾶς μονῇ ἀνεθέμεθα, δέον σε πᾶσαν σπουδὴν καὶ ἐπιμέλειαν εἰσάγειν εἰς τὴν σύστασιν τῆς μονῆς καὶ τῶν διαφερόντων αὐτῇ καὶ μήτε αὐτῶν καταρραθυμεῖν, μήτε τῆς χρείας τῶν ἀδελφῶν κατὰ τὸ ἐνδεχόμενον ἀμελεῖν, ἀλλὰ [σπο]υδαίως πάντα διενεργεῖν καὶ οἰκονομεῖν κατὰ τὸ ἐνδεχόμενον γνώμῃ καὶ εἰδήσει καὶ τοῦ εὐλαβεστάτου μοναχοῦ καὶ πατρὸς ἡμῶν, κυροῦ Σάβα, δέον μὴ τοῦ συμφέροντος τῇ μονῇ προτιμότερόν τι ἡγήσασθαι καὶ μέντοι τῆς φωταγωγίας τοῦ θείου ναοῦ ἐπιμελεῖσθαι, δέον ὑμᾶς ἀμφοτέρους οὕτω τὰ ἐντεταλμένα ὑμῖν διενεργεῖν, ὡς πρὸ ὀφθαλμῶν ἔχοντας τὸν τοῦ θεοῦ φόβον καὶ τὸν ἐπηρτημένον κίνδυνον τῷ ὀκνηρῷ δούλῳ ἐκείνῳ δεδιότας, ὡς ἂν οὕτω διακείμενοι ἀκατάγνωστοι μὲν ἔσεσθε τοῖς ἀνθρώποις, τῷ τε θεῷ εὐαπόδεκτοι φανῆτε καὶ τῶν αἰωνίων τύχητε ἀγαθῶν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἔνταλμα τῇ [ὑπογραφῇ] καὶ τῇ σφραγῖδι ἡμῶν [πιστωθὲν] ἐπεδόθη [ὑμῖν] μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις †.

*Archetypum chart. Sigillum deest. Flor. II* (Ἐκκλησιαστικὰ ἔγγραφα.) *nro 1.*

## IV. Sine anno et mense.

***Sanctus Christodulus litteris ad patriarcham datis defendit se et administrationem monasterii Styli in monte Latro.***

† [Δέσποτά μου] ἅγιε. καλὴ μὲν ἡ προτέρα προσλαλιὰ τῆς ἁγιωσύνης σου καὶ ὡς ἀληθῶς ἁρμόζουσα τῷ πνευματικῷ ζήλῳ τῆς ἀρετῆς σου, ὅτι εὐμενῶς οὕτως ἡμᾶς τοὺς ἀναξίους [καὶ] εἶδε καὶ προσεδέξατο, ὡς καὶ εὐχέτας ἔχειν θελήσασα καὶ ἐπαγγειλαμένη καὶ τὴν εἰς τὸ ἑξῆς εὐμένειαν· ἡ δέ γε λύσις ἡ δοθεῖσα



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΙΕΘΟΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΧΡΙΣΤΙΑΝΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Επ. Ζήτης Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἡμῖν ἐν τῷ μηδὲν μὲν τῶν πολλῶν αἰτουμένῳ ἡμῶν ὑπομνηστικῷ, μόνον δὲ ἀπολογουμένων, ὅπως οὐ δὶς ἐδυνήθημεν ἰδεῖν τὴν ἁγιωσύνην σου καὶ τὴν ἀπ' αὐτῆς καρπώσασθαι εὐλογίαν, τῷ πνευματικῷ τούτῳ νόμῳ καὶ ἡμετέρῳ ἐναντία πάντη τῆς προτέρας ἐκείνης καὶ προσλαλιᾶς καὶ ὁμιλίας καθέστηκεν, ὅτι μὴ δῶρον τὴν εὐλογίαν βούλεται δοθῆναι ἡμῖν, ἀλλ' ἀντὶ χρημάτων, ὧν οὐδ' ὄναρ ἠλπίσαμεν. εἰ μὲν οὖν μὴ κατ' ἄκρας τῶν σῶν κατεκράτησεν ἀκοῶν ὑπόληψίς τις οὐκ ἐπαινουμένη, ἀλλὰ καὶ τῷ εὐλόγως ἀπολογεῖσθαι ἐθέλοντι θύρα παρὰ ταύταις ἀνέῳκται, ὃς δὴ νόμος τῷ ἀρρεπῶς ἐθέλοντι κρίνειν [τὰ] πράγμ[ατα] ἀπαράβατος κεῖται, μηδὲ τὴν ἡμετέραν ταύτην ἀπώσῃ ἀπολογίαν, ἀλλ' ἐν ζυγῷ δικαιοσύνης τ[α]λαντ[εύσ]ας αὐ[τὴν καὶ] ἀντιπαραθεὶς τοῖς καθ' ἡμῶν λαλη[θεῖσιν], οὕ[τω] τ[ῇ τοῦ δι]καίου μοίρᾳ προστέθητι· ἡ ἐν τῷ Λάτρῳ ὄρει [τοῦ Στ]ύλου [λα]ύρα ἔσχε μὲν δομήτορα τὸν ἐν ὁσ[ίοις] περιβόητον Παῦλον, οὐδέ τινι δὲ τῶν ἀρχείων ὑποτεθεῖσα φαίνεται παρ' ἐκείνῳ ἢ τῶν μετ' ἐκεῖνον τὴν ἐξουσίαν ταύτης ἐχόντων πατέρων, ἀλλ' ὑπὸ μόνῳ τῷ ἀ[ληθ]εῖ κ[υ]β[ερ]νήτῃ τῶν ἡμετέρων ψυχῶν Χριστῷ καταλέλειπται, καὶ τοῦτο ὅ τε βί[ο]ς ἐκείν[ου] παρι[στᾷ], ἀνάγρα[πτον ἔχων καὶ τ]ὴν τελευταίαν τοῦ ἁγίου περὶ τῆς μονῆς διαταγὴν καὶ τἄλλα τῶν ἐγγράφων, ὅσα δὴ μὴ τῇ δοκούσῃ τιμιωτέρᾳ ὕλῃ ἐπικοσμούμενα, ὡς ἄχρηστα τοῖς ἐχθροῖς ἀπεπέμφθησαν. εἰ δέ τις τῶν πρὸ ἡμῶν παρὰ τὰ διατεταγμένα ταῦτα τελῶν καινοτομίαν τούτοις ἐνεποίησεν, ὅσον ἐπὶ μόνῃ τῇ τοῦ ἡγουμένου σφραγῖδι, οὐδὲν τούτων πρὸς τὸ ἀληθὲς ἐστι δίκαι[ον]. ἐπεί τοί γε κατὰ τἄλλα οὐδὲν ἡ τοῦ ἁγίου δι[ατα]γὴ παρατέθραυσται ἢ ἠλλοίωται τὸ σύνολον ἄχρι τῆς [δεῦρο]· οὐδὲ γὰρ ὅσα εἰώ[θε] γίνεσθαι [ἐπὶ τ]οῖς ὑποτελέσι τῇ ἐκκλησίᾳ μο[ναστηρίο]ις [ἔσχ]ε ποτὲ πάροδον καὶ ἐπὶ τῇ καθ' ἡμᾶς ταύτῃ τοῦ Λάτρου λαύρᾳ, κἂν διαρραγεῖεν οἱ ταῦτα παρερμηνεύοντες καὶ προφανῶς τῇ ἀληθείᾳ μαχόμενοι καὶ προσπ[λά]ττειν οὐκ ἐρ[υθ]ρι[ῶν]τες ταύτῃ τὸ ψεῦδος· οὔτε γὰρ οἶμαι [ἐ]ν τῷ β[ιβλ]ίῳ τῆς ἐκκλησίας ἐγγεγραμμένη φανήσεται, οὔτε ὡς ὑπὸ λόγον ἐτέθη ποτέ τις τῶν κατ-αρξαμένων εἴποι [ποτ'] ἄν· κἂν εἴποι, ψευδόμενος πάντη ἔσται. ἡ[μεῖς] οὖ[ν πρὸ]ς ταῦτα διατεινόμεθα, οὐχ ὅτι τοὺς λόγους δεδοίκαμεν· καθαρὰν γὰρ θεοῦ χάριτι καὶ ἀρρύπωτον τὴν συνείδησιν ἔχομεν, ἀλλ' ὅτι καινιζόμενον ἐκ νέου ὁρῶμεν τὸ πρᾶγμα, καὶ τὴν . . αμεν . . . . . . κ . . : ν ύ . . . μεν· καλὸν γὰρ λογιζόμεθα τὸ φυλάττειν πατέρων ὅρους, καὶ ἀναγκαῖον τοῖς κατὰ τὴν ἐντολὴν τοῦ θεοῦ πολιτευομένοις καὶ τὴν ἀληθῆ πολιτείαν τῶν μοναχῶν ἀσπαζομένοις πνευματικοῖς· [ὡς] τό γε ὅρια πατέρων μετατιθέναι τοῦ δαίμονος ἄντικρυς καὶ τῶν πειθομένων αὐτῷ· χρήματα μὲν γὰρ ἡ καθ' ἡμᾶς αὕτη ἔσχ[ηκε] λ[αύ]ρα, καὶ ἐν μετουσίᾳ τούτων αὐτάρκει ἐλ[άμβ]ανεν. εἰ δὲ καὶ ἀπώλεσε ταῦτα, οὐχ

ἡμεῖς αἴτιοι τῆς ἀπωλείας ἐγενόμεθα τούτων· οὐδὲ γὰρ ὅτε τὸ κακὸν ἤρξατο, τηνικαῦτα ἦμεν, καὶ αὐτοὶ τῆς ἁγίας ταύτης μονῆς προηγούμενοι, ἵν' ἔχοι τις εἰπεῖν, ὡς ἐξῆν μεταγαγεῖν ἐκεῖθεν αὐτά, ἀλλὰ πρὸ τριῶν τούτων ἐνιαυτῶν, ὡς μὴ ὤφελον, τὴν προστασίαν ταύτης ἐνεπιστεύθην παρακλήσει τῶν τότε κρατούντων, ὁπηνίκα ἐκορυφώθη τὸ κακὸν καὶ πανταχοῦ ἐπετάθη τὰ θήρατρα τῶν ἐχθρῶν, ὅτι οὐκ ἦν διαπράξασθαι, ὅσα ἠθέλομεν, ἠθέλομεν δὲ πάντως τὸ τῆς μονῆς συμφέρον πλέον τῶν ἄλλων, ὅτι καὶ ζῆλον εἴχομεν κατ' ἐπίγνωσιν, παραφρονῶν δὴ λέγω, καὶ ὠδίνομεν τὴν σύστασιν τῆς μονῆς, διὸ καὶ οὐδεὶς ἡμῖν τῶν ἐχεφρόνων ἀμέλειαν ἐγκαλέσεται ἢ ῥαθυμίαν· ὅσον γὰρ ἀνῆκεν ἡμῖν, καὶ ἐσπουδάσαμεν καὶ διανέστημεν εἰς τὸ διασώσασθαι ταῦτα· εἰ δὲ μὴ ἰσχύσαμεν, μικροῦ δεῖν καὶ περὶ αὐτὴν τὴν ζωὴν οἱ μέλλοντες κινδυνεῦσαι, οὐδεὶς ἡμᾶς καταδικάσειε νόμος ἢ ἐπιμέμψεται ἄνθρωπος, ὀρθῶς κρίνειν ἐθέλων τὰ πράγματα. ἀλλὰ τὰ μὲν τῆς ἀπολογίας ἐνταῦθα κείσθω, ἡ δὲ τοῦ καλοῦ κρίσις τῇ ἁγιωσύνῃ σου ἀνατέθειται· οἶμαι γάρ, εἰ ζῆλον ἔχει πνευματικόν, ὥσπερ καὶ πέπεισμαι, οὐ παρατρεπῇ τοῦ εὐθέος, οὐδὲ πρὸ τοῦ δικαίου θήσει τὸ ἄδικον, ὡς τό γε εἰς ἡμᾶς ἀνῆκον, καὶ εἰς προὖπτον κί[νδυν]ον ἑαυτοὺς ἐμ[β]αλοῦμεν ὑπὲρ τοῦ καλοῦ καὶ δικαίου αὐτοῦ †.

† Ὡς δοῦλος ἀνάξιος τολμήσας ἔγραψα †.

† **Τοῦ μοναχοῦ Χριστοδούλου καὶ καθηγουμένου τῆς ἐν τῷ Λάτρῳ λαύρας τοῦ Στύλου, δούλου ἀναξίου †.**

*Charta scripta manu propria S. Christoduli. Ex aversa parte chartae scripta erat responsio seu* λύσις *patriarchae constans septem lineis, quae obtecta est charta ei agglutinata. Flor. II nro 11. cum titulo erroneo:* Ἶσον γράμματος δεινοπαθητικοῦ περὶ τῆς μονῆς τοῦ Λάτρου.

## V. 6587—1079, mense augusto, ind. II.

*Imperator Nicephorus Botaniata monasterio S. Ioannis Prodromi in Strobelo, condito a sorore Constantini Cabaluri, concedit libertatem et exemptionem ab omnibus tributis.*

† . . . ἐκκλησίας κηδε[μὼν] . . . . καὶ το . . . . . μεγίστην τε . . . . . . . αὐ]τὴν ἡμῖν ἐπιδαψιλεύεται . . . . . . . . . . . . . καὶ τὴν βασιλείαν Χριστοῦ . . . . εται τὴν αἰώνιον τοιο . . . . . . . . σκοποῦ . . . ὡς ἐχομένη ἡ ἡμετέρα εὐσέβεια ἐπήκουσεν [εὐ]μενῶς τῆς δεή[σεως] . . . . . . . . τῆς αὐταδέλφης Κωνσταντίν[ου] . . . . . . . . . . . ου

τοῦ Καβαλούρη καὶ [τ]ῇ αἰτήσει σύνδρομον καὶ . . . . . . . . . . ὁ μνημονευθεὶς αὐτάδελφος ταύτης ἄπαις . . . . . . . . . . . . . . . βιοὺς ἐπεχείρησεν ἐκ θεοφιλοῦς γνώμης καὶ προαιρέσεως ἐκ καινῆς μοναστήριον συστήσασθαι ἐν τοῖς διαφέρουσιν ἐκείνῳ κατὰ τὴν Στρόβηλον, μήπω δὲ τοῦτο ἀπαρτίσας, μηδὲ τὸ τῆς οἰκείας βουλήσεως ἐκτετελεκὼς τῶν ἐνθένδε μετέστη. αὕτη δὲ τὰ ἐκείνου διαδεξαμένη ἀδελφὰ τούτῳ ἐφρόνησε σπεύσασα τό τε μοναστήριον ἀπαρτίσαι καὶ τὰ ἐλλείποντα ἐκπληρῶσαι καὶ μοναχοὺς ἐντάξαι εἰς δοξολογίαν καὶ αἶνον τοῦ πάντων ποιητοῦ καὶ δεσπότου θεοῦ. ᾐτήσατο γοῦν θερμῶς ἄγαν καὶ περιπαθῶς συνεργὸν καὶ τὴν βασιλείαν μου εἰληφέναι ἐπὶ τῇ τοιαύτῃ θεοφιλεῖ πράξει καὶ ἀγαθῇ. καὶ ἡ ἡμετέρα εὐσέβεια θᾶττον ἢ λόγος ἐπικλινεῖς παρέσχε τὰς ἀκοὰς καὶ τὸν παρόντα χρυσόβουλλον λόγον ἐπώρεξε, δι᾽ οὗ θεσπίζει καὶ ἐγκελεύεται μένειν τὴν ῥηθεῖσαν μονὴν τοῦ Καβαλούρη τὴν ἐν Στροβήλῳ διακειμένην καὶ ἐπ᾽ ὀνόματι τοῦ τιμίου Προδρόμου δεδομημένην αὐτοδέσποτόν τε καὶ αὐτεξούσιον καθ᾽ ἑαυτὴν ἀγομένην καὶ διευθυνομένην κατὰ τὸ μέλλον ἐπὶ ταύτῃ γενέσθαι παρὰ τῆς δηλωθείσης γυναικὸς τυπικόν, καὶ μήτε ὑπὸ βασιλικὰ καὶ πατριαρχικὰ ἢ ἐπισκοπικά, μήτε μὴν ὑπό τινα ἰδιωτικὰ καὶ συγγενικὰ δίκαια ἄγεσθαι πώποτε, ἀλλ᾽ ἐλευθεριάζειν καθαρῶς καὶ πλουτεῖν τὸ αὐτοδέσποτόν τε καὶ ἐλευθέριον, ἐξκουσσεύεσθαί τε ταύτην τὴν μονὴν καὶ τὰ ἐν αὐτῇ διαφέροντα ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας τε καὶ κακώσεως καὶ μή τινι ἐξεῖναι τῶν ἁπάντων καθ᾽ οἱανδήτινα σκῆψιν ἢ πρόφασιν ἐπηρεαστικῶς ταύτῃ καὶ τοῖς ὑπ᾽ αὐτὴν προσεπιτίθεσθαι, εἰ μή γε βούλοιτο ὁ τοιοῦτόν τι κατ᾽ αὐτῆς διαπραξάμενος πρὸς τὸ δόξας ἀνηνύτοις ἐπιχειρεῖν καὶ πέντε λίτρας χρυσίου λόγῳ ποινῆς καταθέσθαι εἰς τὸ τῶν οἰκειακῶν σέκρετον, ἐν ᾧ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος κατέστρωται. ἐξκουσσευθήσεται δὲ αὐτή τε ἡ μονὴ καὶ τὰ ὑπ᾽ αὐτὴν ἀπό τε μιτάτων, ἐπιθέσεως μονοπροσώπων, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παριππίων, ὀνοκηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, ἀγελάδων, βουβαλίων καὶ λοιπῶν τετραπόδων, καστροκτισίας, καπνικοῦ, οἰκομόδου, ἐξοπλίσεως πλωίμων ἢ τοξοτῶν, παροχῆς χρειῶν τῶν χορηγουμένων δικασταῖς ἢ πράκτορσιν, ἐξωνήσεως σίτου, οἴνου, κριθῶν, βρώμου, ἐλαίου, ὀσπρίου καὶ παντοίων σπερμάτων, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς ἢ μετακομιδῆς ἑτέρου εἴδους, πρίσεως σανίδων, κτίσεως χελανδίων, ἀγραρίων, ζερμώνων καὶ ἑτέρων πλοίων, ἐκβολῆς κονταράτων ἢ ἑτέρων στρατιωτῶν, καθίσματος τῶν ἐν ὑπεροχῇ ἀρχόντων, κριτῶν, στρατηγῶν, ἀναγραφέων, ἐποπτῶν καὶ λοιπῶν ἀπαιτητῶν, παροχῆς κανισκίου ἢ ἀντικανισκίου, ἐκβολῆς χρειῶν καὶ χορτασμάτων, φοσσάτων διατροφῆς καὶ ἀπλήκτων ἐπὶ πόλεμον ἀπιόντων ἢ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ι.Α. ΤΟΣ Κ.Θ.Π. ΙΩΑΝΝΙΝΑ 2002

ὑποστρεφόντων, μιτάτων ἀθανάτων ἢ τοποτηρητῶν τούτων καὶ ἐθνικῶν ἢ ἄλλων τινῶν, πρωτοκεντάρχων ἢ προσελευσιμαίων, μανδατόρων πρέσβεις ἀγόντων ἢ ἐξορίστους ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, παροχῆς γεννήματος ἐξ ἀγορᾶς γεγενημένου, ἀγγαρείας, παραγγαρείας καὶ λοιπῆς ἁπάσης ἐπηρείας. διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατορειῶν, εἰδικῶν, γηροτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ Φύλακος, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθερίου καὶ τῶν Μαγγάνων, οἰκιστικῶν καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων, ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς, ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων, πρωτοκεντάρχων, προσελευσιμαίων καὶ λοιπῶν, πρὸς τούτοις κριτῶν, ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, βασιλικῶν ἀνθρώπων ἐπί τινας ἀποστελλομένων τοῦ δημοσίου δουλείας, πρωτονοταρίων, νοταρίων, συνωναρίων, ὡριαρίων, τοποτηρητῶν, παραφυλάκων καὶ παντὸς ἑτέρου δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἐπ' ἀδείας ἔχειν ἀθετεῖν ἢ ἀνατρέπειν τι μερικῶς ἢ εἰς ὁλόκληρον τῶν ἐν τῷ παρόντι χρυσοβούλλῳ σιγιλλίῳ διειλημμένων γεγενημένῳ κατὰ τὸν αὔγουστον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος ἐν ἔτει τῷ ,ϛφπζ', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

*Subscriptio deest. Archet. chart. Flor. nro I. Tabula est suspecta.*

## VI. 6588—1079, mense octobri, ind. III.

*Imperator Nicephorus Botaniata Arsenio Scenuri donat sedecim nummos aureos eximitque cellas ab eo conditas in monte Dicaeo in insula Coo ab omnibus tributis.*

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Νικηφόρος, πιστός, ὀρθόδοξος βασιλεύς, καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Βοτανειάτης, πᾶσιν, οἷς τὸ παρὸν ἡμῶν εὐσεβὲς ἐπιδείκνυται σιγίλλιον †.

† Ἡ νῆσος ἡ Κῶς ἔχει τι περὶ αὐτὴν διακείμενον ὄρος, ὃ Δίκαιον ἐγχωρίως κέκληται, ξηρόν τε καὶ ἄνικμον καὶ διὰ τοῦτο ἀνθρώπων ἔρημον. ἐν τούτῳ ὁ μοναχὸς Ἀρσένιος, ᾧ τὸ ἐπίκλην Σκηνούρης, κελλία δύο ἐδείματο καὶ μοναχοὺς ἐν τούτοις ἀπέκειρε, μεθ' ὧν τοὺς ἀσκητικοὺς ἱδρῶτας ἄχρι καὶ τήμερον

διανύειν ἐπείγεται. ἀλλὰ τὸ τοῦ τόπου σκληρὸν καὶ κατάξηρον καὶ τὸ πρὸς καρπογονίαν δυσκίνητον ἢ ἀκίνητον κατηνάγκασε τοῦτον τῆς ἐν [τῷ] ὄρει διατριβῆς ἐπίπροσθεν θεῖναι τὴν ἐνταῦθα φοίτησιν καὶ διὰ τοῦτο τῇ βασιλείᾳ μου προσελθὼν θερμῶς αὐτὴν ἐλιτάνευσεν, ἐφ' ᾧ τυχεῖν φιλοτιμίας τῆς παρ' αὐτῆς εἰς ἀναψυχὴν αὐτοῦ τε καὶ τῶν ἐκεῖσε ἀσκουμένων γερόντων. ᾧ καὶ προσχοῦσα ἡ βασιλεία μου τὸν παρόντα αὐτῆς χρυσόβουλλον λόγον ἐπεβράβευσε, δι' οὗ διορίζεται λαμβάνειν αὐτόν τε καὶ τοὺς ἐκεῖσε μοναχοὺς κατὰ πᾶν ἔτος χάριν σολεμνίου ἀπὸ τοῦ διοικητοῦ τῶν Κυκλάδων νήσων νομίσματα δεκαὲξ ἀνυστερήτως τε καὶ ἀνεγκρατήτως, ἵνα δι' αὐτῶν τὴν προσοῦσαν αὐτοῖς σκληραγωγίαν παραμυθῶνται ἐπὶ μικρὸν καὶ τῆς βασιλείας μου ὑπερεύχωνται. οὐδεὶς οὖν τῶν ἁπάντων ἐπ' ἀδείας ἕξει ἐκκόπτειν μερικῶς ἢ καθ' ὁλόκληρον τὸ τοιοῦτον σολέμνιον ἢ πρὸς ἀναβολὰς χωρεῖν καὶ τοῖς μοναχοῖς πράγματα προξενεῖν καὶ ὀχλήσεις, ἀλλ' ἅμα τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου λήψονται ἐτησίως οἱ μοναχοὶ τὸ τοιοῦτον σολέμνιον ἀνενδεῶς τε καὶ ἀνεγκρατήτως. ἐπεὶ δὲ καὶ ἐξ οἰκείων ἐξόδων καὶ ἀναλωμάτων τὰ κελλία ὁ μοναχὸς Ἀρσένιος οὗτος ταῦτα ἐδείματο, καὶ ὃ μέχρι τοῦ νῦν προσῆν αὐτοῖς αὐτεξούσιον ἔχειν καὶ εἰς τὸ ἑξῆς καθικέτευσε, καὶ μὴν καὶ ἐξκουσσείας πάσης ταῦτα τυγχάνειν ᾐτήσατο, οὐδ' εἰς ταύτας τὰς δύο αἰτήσεις παρήκουσε τούτου τὸ κράτος ἡμῶν, ἀλλ' ἅμα ταύτας πεπλήρωκε καὶ αὐτεξούσια μένειν αὐτὰ εἰς τὸν ἑξῆς χρόνον διωρίσατο, μηδενὶ τῶν ἁπάντων ὑποκεῖσθαι ὀφείλοντα, μηδὲ χεῖρά τινα δεσπότιν ἐπιγινώσκοντα, ὅτι μηδὲ μέχρι τοῦ νῦν ὑπὸ ζυγὸν ἦσαν τοῦ ἐλευθερίου τῶν χρόνων ἀνέκαθεν προσόντος αὐτοῖς. ἃ καὶ ἐξκουσσευθήσεται μετὰ πάντων τῶν διαφερόντων αὐτοῖς ἀπό τε μιτάτων, ἀντιμιτατικίων, ἀπλήκτων καὶ τῆς ὑπὲρ τῶν ἀπλήκτων χορηγίας χρειῶν, μεσαπλήκτων, κριτῶν, ἀπαιτητῶν καὶ λοιπῶν ἁπάντων, ἐπιθέσεως μονοπροσώπων, δόσεως κανισκίων ἢ ἀντικανίσκων, σιταρκήσεως κάστρων, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παριππίων, ὀνοκηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, ἀγελάδων, βουβαλίων καὶ λοιπῶν τετραπόδων ζώων, παροχῆς γεννημάτων, ἐνοχῆς τοῦ δρόμου, οἰκομόδου, κωμοδρομικοῦ, καπνικοῦ, προσόδου ἀερικοῦ, συνωνῆς, στρατείας, καστροκτισίας, ὁδοστρωσίας, γεφυρώσεως, ταξατιῶνος, ματζουκατιῶνος, παροχῆς χρειῶν τῶν χορηγουμένων δικασταῖς ἢ πράκτορσιν ἢ ἑτέροις ἄρχουσιν ἢ καὶ στρατῷ τινι ἢ πρέσβεσιν ἐθνῶν διερχομένοις, ἐκβολῆς χορτασμάτων, διατροφῆς πρωτοκεντάρχων ἢ προσελευσιμαίων, βασιλικῶν ἀνθρώπων ἐπί τινας ἀποστελλομένων δουλείας, ἐκβολῆς γεννημάτων, οἴνου, κρεῶν, κριθῆς, βρώμου, ἐλαίου, ὀσπρίου καὶ παντοίων σπερμάτων, ἐξοπλίσεως πλωΐμων, τοξοτῶν, ἱπποτοξοτῶν, κοπῆς καὶ

καταβιβασμοῦ οἱασδήτινος ξυλῆς, ἐκβολῆς κονταράτων ἢ μαλάρτων, ἐξοπλίσεως στρατιωτῶν, ἀρχόντων καβαλλαρικῶν ἢ πεζῶν, καθίσματος τῶν ἐν ὑπεροχαῖς ἀρχόντων, δουκῶν, κατεπάνω, κριτῶν, στρατηγῶν, στρατευτῶν, ἀναγραφέων καὶ λοιπῶν ἀπαιτητῶν, φοσσάτων διατροφῆς καὶ ἀπλήκτων ἐπὶ πόλεμον ἀπιόντων ἢ καὶ ὑποστρεφόντων, βεστιαριτῶν, μανδατόρων τοῦ δρόμου πρέσβεις ἀγόντων ἢ ἐξορίστους ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, τοποτηρητῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων καὶ λοιπῶν ἑτέρων, ἀγγαρείας, παραγγαρείας καὶ λοιπῆς ἁπάσης ἐπηρείας νῦν τε οὔσης καὶ ὕστερον ἐσομένης, καθὼς ἂν ὁ καιρὸς διδῷ. διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατορειῶν, εἰδικῶν, γηροτρόφων, ὀρφανοτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ Φύλακος, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθερίου καὶ τῶν Μαγγάνων, οἰκιαστικῶν καὶ τῶν ὑπ' αὐτοὺς πρωτονοταρίων καὶ νοταρίων τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἀθετεῖν τὸν παρόντα χρυσόβουλλον λόγον καὶ τοὺς μοναχοὺς ἐκείνους διώκειν ἢ ὑπὸ ζυγὸν ἄγειν αὐτούς, εἴγε καὶ μέχρι τοῦ νῦν τὸ ἐλευθέριον εἶχον, ἀρκουμένων ἑκάστων τῇ ἐμφανείᾳ καὶ μόνῃ τοῦ παρόντος χρυσοβούλλου τῆς βασιλείας μου γεγενημένου κατὰ τὸν ὀκτώβριον μῆνα τῆς τρίτης ἰνδικτιῶνος ἐν ἔτει τῷ ϛφπη', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Νικηφόρος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Βοτανειάτης †.

*Archet. chart. Flor. nro 3. Sub nro 2 extat tertia aurea bulla eiusdem imperatoris, iniuria temporum plane deleta.*

## VII. 6593—1085, mense martio, ind. VIII.

*Imperator Alexius I. Comnenus confirmat donationem imperatoris Nicephori Botaniatae, qui Sancto Christodulo dedit duo loca in insula Coo, conceditque monasterio Sanctae Mariae Castrianorum a Sancto condito libertatem et confirmat donationes eidem monasterio factas.*

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἀλέξιος, πιστός, ὀρθόδοξος βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Κομνηνός, πᾶσιν, οἷς τὸ παρὸν ἡμῶν εὐσεβὲς ἐπιδείκνυται σιγίλλιον †.

† Ὅσοις ὁ μονήρης βίος ἠγάπηται καὶ οἷς φίλη ἡ ἡσυχία καθίσταται, τούτους διὰ τιμῆς τε τῆς προσηκούσης ἄγει τὸ κράτος ἡμῶν καὶ τελεσιουργεῖ τὰ αἰτήματα, ὅταν καὶ ὄντα σωτηριώδη φαίνωνται ταῦτα καὶ τὸν δρόμον αὐτῶν τὸν κατὰ θεὸν βελτιοῦντα καὶ τονώτερον ἐργαζόμενα· ὧν εἷς ὑπάρχων καὶ ὁ εὐλαβέστατος μοναχὸς Χριστόδουλος καὶ ἡσυχαστὴς ὁ πρὶν ἐν τῷ ὄρει τοῦ Λάτρου ποιούμενος τὰς διατριβὰς τὸν ἴσον δρόμον ἀποδεκτέος τῇ βασιλείᾳ μου τῆς ἀρετῆς καὶ τῆς ἀσκήσεως δείκνυται καὶ οὐ παραθεωρεῖται αἰτούμενος, ἀλλὰ λαμβάνει πέρας τοῖς παρ' αὐτοῦ αἰτηθεῖσι κατάλληλον· ἐπιβραβεύει γὰρ τούτῳ φιλαγάθως ἡ ἡμῶν θεοσέβεια τὸν παρόντα εὐσεβῆ χρυσόβουλλον λόγον, δι' οὗ ἐπικυροῖ τὸ τοῦ μακαρίτου βασιλέως τοῦ Βοτανειάτου πιττάκιον, τὸ πρὸς τὸ σέκρετον τοῦ Ἑβδόμου καταπεμφθὲν[1]) περὶ τὸν μάρτιον μῆνα τῆς τρίτης ἰνδικτιῶνος καὶ διοριζόμενον κατέχειν τοῦτον μετὰ καὶ τῶν αὐτοῦ μαθητῶν κατὰ δωρεὰν εἰς διηνεκῆ καὶ ἀναφαίρετον δεσποτείαν καὶ κυριότητα τὰ ἐν τῇ νήσῳ τῇ Κῷ διακείμενα δύο τόπια, τό τε Καστέλλιον ἐγχωρίως λεγόμενον καὶ ἐν τῷ πρακτικῷ Καστριανὸν ἀναγραφόμενον καὶ τέλος ἔχον νομίσματος τὸ τέταρτον, καὶ τὸ τοῦ Πιλὲ ἐπονομαζόμενον καὶ τέταρτον καὶ αὐτὸ τοῦ νομίσματος πάκτον τελοῦν, ἐκκόπτον καὶ τὸ ῥηθὲν . . . . . . . . . τέταρτον, τὰ ἓξ δηλαδὴ μιλιάρια καὶ τὴν ὑπὲρ τούτου συνωνὴν καὶ θεσπίζει, εἰς τὸν ἀεὶ καὶ διηνεκῆ χρόνον τὴν δύναμιν καὶ περίληψιν τοῦ αὐτοῦ δωρεαστικοῦ πιττακίου βεβαίαν μένειν καὶ ἀσφαλῆ καὶ ἀπαρεγχείρητον καὶ μὴ παρά τινος τῶν ἁπάντων θραῦσιν ὑπομένειν ἢ ἐπορθοῦσθαι τὸ ἅπαξ ἐκκοπὲν πάκτον αὐτῶν, τὸ ἥμισυ δηλονότι τοῦ νομίσματος καὶ τὴν ἐπικειμένην τούτου συνήθειαν. ὡσαύτως παρακελεύεται τὸ γαλήνιον κράτος ἡμῶν, τὴν ἐν τοῖς αὐτοῖς τόποις ἀνεγερθεῖσαν παρὰ τοῦ διαληφθέντος εὐλαβοῦς μοναχοῦ Χριστοδούλου νεοσύστατον μονήν, ἐπ' ὀνόματι τῆς ὑπεραμώμου δεσποίνης ἡμῶν καὶ θεοτόκου καὶ τῶν Καστριανῶν ἐγχωρίως λεγομένην αὐτοδέσποτόν τε καὶ αὐτεξούσιον εἰς ἀεὶ διαμένειν καθ' ἑαυτὴν ἀγομένην καὶ διευθυνομένην κατὰ τὸ μέλλον ταύτῃ γενέσθαι τυπικὸν καὶ τὴν διάταξιν παρὰ τοῦ δηλωθέντος εὐλαβοῦς μοναχοῦ Χριστοδούλου καὶ κτήτορος, καὶ μὴ ὑπὸ βασιλικὰ ἢ πατριαρχικὰ ἢ ἐπισκοπικὰ καὶ ἰδιωτικὰ δίκαια ἄγεσθαι ταύτην πώποτε, ἀλλ' ἐλευθεριάζειν καθαρῶς καὶ τὸ ἀδέσποτον ἐς ἀπέραντον ἀποφέρεσθαι. ἐπεὶ δὲ ὁ πολλάκις μνημονευθεὶς εὐλαβέστατος μοναχὸς Χριστόδουλος καὶ ἡσυχαστὴς ᾐτήσατο τὸ γαλήνιον τοῦ κράτους ἡμῶν, ἐπικυρωθῆναι διὰ χρυσοβούλλου λόγου καὶ τὰς γεγονυίας τῇ ῥηθείσῃ σεβασμίᾳ μονῇ δωρεὰς καὶ ἀφιερώσεις ἀκινήτων καὶ ἑτέρων τινῶν παρά τινων φιλοχρίστων, ἤγουν Μαρίας μοναχῆς τῆς ἀδελφῆς τοῦ βεστάρχου, τοῦ μοναχοῦ Ἀρσενίου τοῦ Σκηνούρη καὶ τοῦ μοναχοῦ Νίκωνος τοῦ Ἀσκεποῦς, προσέσχεν εὐμενῶς τῇ τούτου αἰτήσει καὶ

ἐγκελεύεται διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου, βεβαίας μένειν καὶ ταύτας καὶ ἀρραγεῖς καὶ μὴ παρά τινος θραῦσιν δεχομένας ἢ ἀλλοίωσιν τὴν οἱανοῦν, εἴπερ δηλαδὴ εὐλόγως καὶ δικαίως ἐκείνοις τὰ τοιαῦτα διέφερε. ἔσται οὖν ἡ παροῦσα χρυσόβουλλος γραφὴ τὸ βέβαιον ἀποφερομένη καὶ ἀπαρεγχείρητον εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους καὶ παρ' οὐδενὸς τῶν ἁπάντων ἀθετουμένη διὰ τὸ οὕτως εὐδοκῆσαι τὴν βασιλείαν μου ἐπὶ λυσιτελείᾳ μοναχῶν ἐξωσθέντων μὲν τῶν ἰδίων ὑπὸ τῶν κακῶς ἀπολουμένων ἀθέων καὶ καταράτων ἐχθρῶν, ἀλλοτρίοις δὲ τόποις ἐνσκηνωσάντων καὶ ἤδη κακουχουμένων ἐπὶ συχνὸν καὶ εἰς τὰς ἡμετέρας ἀφορώντων χεῖρας, ὥσπερ ἡμεῖς εἰς τὰς τοῦ θεοῦ. καὶ ἐξκουσσείας [δὲ ἀπολαύσουσι] καὶ [ἐλευθερίας] πασῶν ἀπροσδιορίστως τῶν ἐπηρειῶν καὶ κακώσεων. ταῦτα πάντα καταπολαύσουσι καὶ οὐδεμιᾷ κακώσει ὑποβληθήσωνται, εἰ μὴ βούλεται ὁ παρὰ τὰ ἐνταῦθα πειραθησόμενος καταπράξασθαι, [ἀπο]δόσει προστίμου λιτρῶν πέντε εἰς τὸ τῶν οἰκειακῶν σέκρετον ὑποβληθῆναι, οἷα βασιλικῶν κατολιγωρῶν διατάξεων, ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου τῆς βασιλείας μου, γεγενημένου κατὰ τὸν μάρτιον μῆνα τῆς ὀγδόης ἰνδικτιῶνος, ἐν ἔτει τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἐννενηκοστῷ τρίτῳ, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀλέξιος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Κομνηνός †.

*Archetypum chart. Fl. nro 4.*

[1]) Non exstat.

## VIII. 6595—1087, mense maio, ind. X.

*Imperator Alexius I. Comnenus donat Sancto Christodulo totam insulam Lipso, praedia duo et dimidium castri Pentelii in insula Lero eximitque donata a tributis.*

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἀλέξιος, πιστός, ὀρθόδοξος βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Κομνηνός, πᾶσιν, οἷς τὸ παρὸν ἐπιδείκνυται σιγίλλιον †.

† Καὶ τί γὰρ ἄν τις χαρίσαιτο δῶρον ἀξιόχρεων τῇ πανάγνῳ δεσποίνῃ κο θεομήτορι; πάντως οὐδέν, κἂν εἰ τόδε τὸ πᾶν προσενέγκῃ. τί οὖν, διότι τῆς ἀξίας λειπόμεθα, τὸ πᾶν ἐλλίπωμεν; οὐδαμῶς, ἀλλὰ προσεισενέγκωμεν ταύτῃ τὸ κατὰ δύναμιν· οὐδὲ γὰρ χρημάτων αὐτῇ καὶ κτημάτων χρεία, οὔσῃ ἀνενδεεῖ, ἀλλὰ

καθαροῦ συνειδότος καὶ ἡγνισμένης ψυχῆς καὶ προθυμίας ζεούσης καὶ παριστώσης ἐκ τῶν ἔξωθεν δωρημάτων τὴν ἐγκεκρυμμένην ἔσωθεν πίστιν εἰλικρινῆ καὶ διάπυρον. τὰ γοῦν τῷ θεῷ καὶ τῇ τούτου μητρὶ προσφερόμενα οὐχ ὅτι χρειώδη τούτοις ταῦτα προσάγονται, ἀλλ' ὅπως ἂν ἐξ αὐτῶν ἀποτρέφοιντο οἱ ἐν τοῖς ναοῖς αὐτῶν προσκαθήμενοι μοναχοὶ καὶ τῶν ἀναγκαίων ἀνενδεῶς ἔχοντες προθυμότερον τὸν ἀσκητικὸν θέωσι δίαυλον, καὶ ὑπὲρ τοῦ κόσμου παντὸς καὶ τῆς βασιλείας ἡμῶν θερμοτέρας τὰς πρὸς θεὸν ἐντεύξεις ποιοῖντο, ὁποῖον δὴ καὶ τὰ νῦν τελεῖται παρὰ τῆς ἡμετέρας θεοσεβείας καὶ γαληνότητος. ἔχει γὰρ οὑτωσὶ τὰ τῆς ὑποθέσεως. τὴν νῆσον Λέρον καὶ τὸ νησίδιον τὴν Λειψὼ καὶ τὴν ἑτέραν νῆσον τὴν Φαρμακὸν προεδωρήσατο τῇ μονῇ τοῦ Παντεπόπτου τὸ κράτος ἡμῶν ἐξ ὁλοκλήρου, καθὼς εἰσίν, ἀλλὰ μετὰ ταῦτα λυσιτελέστερόν τι καθ' ἑαυτὴν σκεψαμένη ἡ ἁγία μου δέσποινα καὶ περιπόθητος μήτηρ αὐτῆς μετήνεγκε ταῦτα κατὰ τρόπον ἀνταλλαγῆς διὰ χρυσοβούλλου λόγου τῆς βασιλείας μου πρὸς τὴν δεσποτείαν τοῦ Μυρελαίου καὶ ἀντιδέδωκε τῇ μονῇ τοῦ Σωτῆρος ἐκεῖθεν ἕτερον κτῆμα, ὅπερ ἐβούλετο· ἀλλ' οὕτω τῆς ἀνταλλαγῆς προβάσης αὐτῶν, ἐπεφύη τούτοις ὅ τε βεστάρχης ὁ Μάτζαρος καί τινες ἕτεροι καὶ ἐξενίκων τὴν νῆσον Λέρον ἅπασαν, ὡς αὐτοῖς διαφέρουσιν. τοίνυν καὶ προστάξει τοῦ κράτους ἡμῶν γυμνασθείσης τῆς ὑποθέσεως παρὰ τῷ πρωτοπροέδρῳ καὶ ἐπὶ τοῦ κανικλείου, τῷ οἰκειοτάτῳ τῆς βασιλείας μου, καὶ τῷ πρωτοπροέδρῳ καὶ ἐπὶ τῶν κρίσεων, ἐφάνησαν ματαιάζοντες οἱ τὴν νῆσον τὴν Λέρον ἐπιζητοῦντες δεσποτικῶς. καὶ δηλοῖ περὶ τούτων τὸ συντεθὲν παρὰ τῶν εἰρημένων ἀνδρῶν σημείωμα μάλα σαφῶς. ἐν ὅσῳ τοιγαροῦν οὕτω ταῦτα ἐπράττετο, προσήει τῷ κράτει τῆς εὐσεβείας ἡμῶν ὁ εὐλαβέστατος μοναχὸς Χριστόδουλος καὶ ἡσυχαστὴς ὁ πρὶν ἐν τῷ ὄρει τοῦ Λάτρου τὰς διατριβὰς ποιούμενος, καὶ κατὰ δῶρον δοθῆναί οἱ προσελιπάρησεν εἰς πρόσωπον τῆς ἀνεγερθείσης παρ' αὐτοῦ μονῆς ἐπ' ὀνόματι τῆς πανάγνου καὶ θεομήτορος τό τε νησίον τὴν Λειψὼ ἐξ ὁλοκλήρου, καθώς ἐστιν, καὶ ἀπὸ τῆς νήσου Λέρου τὸ προάστειον, ὃ Παρθένιον ἐπικέκληται, καὶ τὸ προάστειον, ὃ Τεμένεια ἐπωνόμασται. πρὸς τούτοις δὲ καὶ τὸ ἥμισυ τοῦ ἐν αὐτῇ καστελλίου, τοῦ Παντελίου ἐγχωρίως καὶ αὐτοῦ καλουμένου. ταῦτα μὲν οὖν ὁ εὐλαβὴς ἀνὴρ οὑτοσὶ προσκυρωθῆναι τῇ μονῇ τῆς παναχράντου δεσποίνης δι' ἐντεύξεως ἐποιήσατο, ἡ δὲ ταχυπειθὴς τούτῳ γέγονε καὶ συγκάταινον εὑροῦσα τῷ ταύτης σκοπῷ καὶ τὴν ἁγίαν μου δέσποιναν (χαίρει γὰρ καὶ αὕτη δωρουμένη πλέον ἤπερ λαμβάνουσα καὶ λῆψιν αὐτὴ τὴν δόσιν οἴεται, καλῶς ἄγαν καὶ θεοφιλῶς καὶ κατὰ τὸν λόγον τὸν πρέποντα), ἐδωρήσατο τούτῳ τε καὶ τῇ παναχράντῳ ἡμῶν δεσποίνῃ καὶ τοῦ λόγου μητρὶ ταῦτα διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς, οὐ καιρικῶς, οὐδὲ χρόνοις ἀριθμητοῖς, ἀλλ'

ἀναφαιρέτως τε καὶ αἰωνίως καὶ ἄχρις ἂν ὁ παρὼν διαρκοίη αἰών, προστάξασα ἐκβληθῆναι τέλεον καὶ τὰς ὀνομασίας αὐτῶν καὶ τὰ τούτων τέλη ἀπὸ τοῦ μέλλοντος ἀποτεθῆναι πρακτικοῦ ἐν τῷ τοῦ Μυρελαίου σεκρέτῳ, ὡς ἂν καὶ ταῦτα προσπορίζοιντο τῇ μονῇ. ὃ δὴ καὶ γέγονε καὶ ἐξεβλήθησαν ταῦτα ἀπὸ τοῦ αὐτοῦ πρακτικοῦ, ὡς ἂν μηδὲ εἴδησιν ἔχοι συνόλως τὸ τοῦ Μυρελαίου σέκρετον, μήτε μὴν παρεκβάλλῃ ταῦτά ποτε εἰς ἀπαίτησιν ἢ νῦν παράσχῃ τῷ μέλλοντι τὴν ἀναγραφὴν τῶν λοιπῶν ἐνεργῆσαι ἀνθρώπῳ τῆς ἁγίας μου δεσποίνης καὶ περιποθήτου μητρός, ἀλλ᾽ ἔσται διακατέχουσα ἡ μονὴ τό τε νησίδιον τὴν Λειψώ, τὸ κατὰ τὴν νῆσον Λέρον προάστειον τὰ Τεμένεια, τὸ ἕτερον προάστειον τὸ Παρθένιον καὶ τὸ ἥμισυ μέρος τοῦ ἐν αὐτῇ καστελλίου, ὅσον δηλαδὴ τυγχάνει ἀνωφερέστερον (τὸ γὰρ πρανέστερον τούτου τὸ τοῦ σεκρέτου μέρος καθέξει), ἀτελῶς καὶ ἀβαρῶς, κυρίως καὶ αὐθεντῶς, ἀναφαιρέτως τε καὶ αἰωνίως (κἂν πρόσταξις ἢ βασιλικὴ διεξιοῦσα τὰς δωρεὰς τῶν κάστρων, τὰς ἐπὶ ἀναφαιρέτῳ δεσποτείᾳ γινομένας, ἐφ᾽ ἑνὶ νοεῖσθαι καὶ μόνῳ προσώπῳ), καὶ δεσπόζουσα τούτων μετὰ πάσης αὐτῶν τῆς περιοχῆς καὶ διακρατήσεως, ἀπαρασπάστως τε καὶ ἀνυπεξαιρέτως καὶ ἴδιον κέρδος τιθεμένη τὰς ἐξ αὐτῶν προσόδους καὶ εἰς φωταψίαν ἑαυτῆς ταύτης καὶ μικράν τινα ἀποτροφὴν ἔχουσα τῶν ἐν αὐτῇ μοναχῶν· καὶ οὔτε πρὸς τὸ τοῦ δημοσίου μέρος παρέξει τὸ σύνολόν τι, κἂν ἔν τινι τῶν δημοσίων κωδίκων τὸ οἱονδήποτε ὑπέρ τινος αὐτῶν ἀναγράφηται, οὔτε πρὸς τὸ τοῦ Μυρελαίου σέκρετον, ἀλλὰ πάσης εὑρεσιολογίας καὶ γλωσσαλγίας ὑπερτερήσει σεκρετικῆς, καὶ οὔτε τὸ τοῦ Παντεπόπτου μέρος ἐπιφωνήσεται ταύτῃ ποτέ, οὔτε τὸ τοῦ Μυρελαίου σέκρετον, ὡς ἀντιδεδωκὸς πρὸς τὴν τοῦ Παντεπόπτου μονὴν ἕτερόν τι κτῆμα εὐπρόσοδον, ἀλλ᾽ ἔσται ἡ παροῦσα δωρεὰ βεβαία καὶ ἀσφαλής, ἀδιάσειστός τε καὶ ἀπερίτρεπτος, καὶ δεσπόσει τούτων μετὰ πάσης αὐτῶν τῆς περιοχῆς καὶ διακρατήσεως καὶ κυριαρχήσει ὁ εὐλαβέστατος οὗτος ἀνὴρ καὶ οἱ μετ᾽ αὐτὸν μοναχοὶ καὶ σὺν αὐτοῖς ἡ μονὴ τῆς παναχράντου δεσποίνης καὶ θεομήτορος, μετὰ παντὸς τοῦ μέρους αὐτῆς ἐξ ὁλοκληρίας, καθὼς εἰσὶ καὶ ἔσονται ἀνεξάλειπτα ταύτῃ καὶ μόνιμα εἰς τὸν αἰῶνα τὸν ἅπαντα. οὐ μὴν ἀλλὰ καὶ ἐξκουσσευθήσονται ἀπαξάπαντες διὰ τῆς παρούσης χρυσοβούλλου γραφῆς ἀπό τε μιτάτων, ἐπιθέσεως μονοπροσώπων, ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παριππίων, ὀνοκηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, ἀγελάδων, βουβαλίων καὶ λοιπῶν τετραπόδων, καστροκτισίας, καπνικοῦ, οἰκομόδου, ἐξοπλίσεως πλωΐμων ἢ τοξοτῶν, παροχῆς χρειῶν τῶν χορηγουμένων δικασταῖς ἢ πράκτορσιν, ἐξωνήσεως σίτου, οἴνου, κριθῆς, βρώμου, ἐλαίου, ὀσπ[ρ]ίου καὶ παντοίων σπερμάτων, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς ἢ

μετακομιδῆς ἑτέρου εἴδους, πρίσεως σανίδων, κτίσεως χελανδίων, ἀγραρίων, ζερμώνων καὶ ἑτέρων πλοίων ἢ χαρβιῶν, ἐκβολῆς κονταράτων ἢ ἑτέρων στρατιωτῶν, καθίσματος τῶν ἐν ὑπεροχαῖς ἀρχόντων, κριτῶν, στρατηγῶν, ἀναγραφέων, ἐποπτῶν καὶ λοιπῶν ἀπαιτητῶν, παροχῆς κανισκίου ἢ ἀντικανισκίου, ἐκβολῆς χρειῶν καὶ χορτασμάτων, φωσσάτου διατροφῆς καὶ ἀπλήκτων ἐπὶ πόλεμον ἀπιόντων ἢ καὶ ὑποστρεφόντων, μιτάτων ἀθανάτων ἢ τοποτηρητῶν τούτων καὶ ἐθνικῶν καὶ ἄλλων τινῶν, πρωτοκεντάρχων ἢ προελευσιμαίων, μανδατόρων καὶ βεστιαριτῶν πρέσβεις ἀγόντων ἢ ἐξορίστους ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, παροχῆς γεννημάτων ἐξ ἀγορᾶς γεγενημένων, ἀγγαρείας, παραγγαρείας καὶ λοιπῆς ἁπάσης ἐπηρείας νῦν τε οὔσης καὶ ἐς τὸ μετέπειτα ἐπινοηθησομένης. διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατοριῶν, εἰδικῶν, γηροτρόφων, ὀρφανοτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ Φύλακος, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθερίου καὶ τῶν Μαγγάνων, τῶν ἐκπροσωπούντων ἐν τῷ οἴκῳ τοῦ Μυρελαίου, οἰκιστικῶν καὶ τῶν ὑπ᾽ αὐτοὺς πρωτονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων, ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς, ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων, πρωτοκεντάρχων, προελευσιμαίων καὶ λοιπῶν, πρὸς τούτοις κριτῶν, ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, βασιλικῶν ἀνθρώπων ἐπί τινα ἀποστελλομένων τοῦ δημοσίου δουλείαν, πρωτονοταρίων, νοταρίων, συνωναρίων, ὡρειαρίων, τοποτηρητῶν, παραφυλάκων καὶ παντὸς ἑτέρου δουλείαν τοῦ δημοσίου μεταχειριζομένου, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ᾽ οἱονδήτινα τρόπον ἐπ᾽ ἀδείας ἔχειν ἀθετεῖν ἢ ἀνατρέπειν τι μερικῶς ἢ εἰς ὁλόκληρον τῶν ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ διειλημμένων, γεγενημένῳ κατὰ τὸν μάϊον μῆνα τῆς δεκάτης ἰνδικτιῶνος ἐν ἔτει τῷ ,ςφϞε′, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

† Ἀλέξιος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Κομνηνός †.

*Archetypum chart. Flor. nro 5. Exemplar eiusdem, initio mutilum ib. numero 6.*

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## IX. [6595—1087], mense iunio, ind. X.

***Imperator Alexius I. iubet in acta publica referri donationes factas Sancto Christodulo.***

Τὸ ἴσον τοῦ βασιλικοῦ καὶ προσκυνητοῦ πιττακίου τοῦ καταπεμφθέντος εἰς τὸ σέκρετον τῶν οἰκειακῶν καὶ καταστρωθέντος ἐν αὐτῷ κατὰ τὸν ἰούνιον μῆνα τῆς παρούσης δεκάτης ἰνδικτιῶνος, τοῦ καὶ περιέχοντος οὕτως·

† Ἡ βασιλεία μου ἐδωρήσατο κατὰ τελείαν καὶ ἀναφαίρετον δεσποτείαν τῷ μοναχῷ Χριστοδούλῳ καὶ ἡσυχαστῇ τῷ Λατρηνῷ τό τε νησίδιον τὴν Λειψὼ ἐξ ὁλοκλήρου, καθώς ἐστι, καὶ τὸ προάστειον τὸ Παρθένιον, καὶ τὸ προάστειον τὰ Τεμένεια, καὶ τὸ ἥμισυ τοῦ κάστρου τοῦ Παντελίου, τὰ ἐν τῇ νήσῳ Λέρῳ καὶ ἄμφω τυγχάνοντα, μετὰ πάσης αὐτῶν τῆς περιοχῆς καὶ διακρατήσεως· καὶ χρυσόβουλλον λόγον αὐτῷ ἐπεβράβευσε διεξιόντα κατὰ μέρος τὰ περὶ τούτων οἰκονομηθέντα τε καὶ διορισθέντα ἀριδηλότερον καὶ σαφέστερον. καὶ κελεύει ὑμῖν ἐπελθεῖν τὸν τοιοῦτον χρυσόβουλλον λόγον καὶ καταστρῶσαι ἐν τοῖς τῶν ὑφ' ὑμᾶς σεκρέτων χαρτίοις, ποιῆσαι δὲ καὶ ἴσα τοῦ παρόντος πιττακίου καὶ ὑπογράψαι ἐν αὐτοῖς μετὰ τῶν ὑφ' ὑμᾶς σεκρετικῶν καὶ δοῦναι αὐτῷ εἰς ἀσφάλειαν. μηνὶ ἰουνίῳ ἰνδικτιῶνος δεκάτης †.

† Θεόκτιστος πρωτοβεστάρχης, κριτὴς καὶ διενεργῶν ἐν τῷ σεκρέτῳ τῶν οἰκειακῶν, ὁ Εὐλαμπὴς †.

† Ἰωάννης βέστης καὶ πρωτονοτάριος τοῦ σεκρέτου τῶν οἰκειακῶν, ὁ Καριανίτης †.

† Ἰωάννης βέστης καὶ βασιλικὸς νοτάριος τῶν οἰκειακῶν, ὁ Μιτζύτζικος †.

† Βασίλειος, πρωτονοτάριος τοῦ σεκρέτου τῶν οἰκειακῶν, ὁ Αἰχμάλωτος †.

*Exemplar chart. Flor. nro 50, β. Rotulus, in quo acta varia referuntur et primum quidem exemplar aureae bullae imp. Alexii I. Comneni de donatione insulae Patmi. Edidit tabulam M. J. Gedeon in vol. IV. periodici* Ἐκκλησιαστικὴ ἀλήθεια, *Constantinopoli, 1883, p. 5.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤ. ΥΠΕΥΘΥΝΟΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## X. (6595—1087), mense iunio, ind. X.

*Patriarcha Nicolaus III. Grammaticus permittit Sancto Christodulo, ut secedat e coenobio, renuntiet munus abbatis monasterii Styli in monte Latro agatque vitam solitariam.*

*Initio et fine mutilum.*

† . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . φυλάττειν . . . . . . . . . . . . . . . . . . . . . . . . κρίσεις ἀθετεῖν κατά τι ἐννόμως . . . . . . . . . . . . . . . δικαίας οὐκ ἐπι . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . Χριστόδουλον, βίου τε κοσμιότητι καὶ τρόπων χρηστότητι καὶ . . . . . . . . . . κεκοσμημένον τοῖς πρὸ ἡμῶν ἁγιωτάτοις ἀρχιερεῦσιν ἀναφανέντα, τῆς τε παρ' αὐτῶν εὐμενείας τυχόντα καὶ τῆς τῶν . . . . φερομένων ἐλευθερίας καὶ πάσης . . . . . . ἐναντίας, οὐκ ἦν εἰκὸς μὴ τῶν ἴσων τοῦτον τυχεῖν καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἑπομένως ἐ[κείνοις] καὶ κραττούσης ἀεὶ καὶ λογιζομένης. καὶ ἐπείπερ ὁ ῥηθεὶς ὁ[σιώτατος καὶ] θεῖος ἀνὴρ καὶ σεβάσμιος τοιοῦτος ὤν, οἷον ὁ λόγος ἀπέδειξεν, τῆς ἐν τῷ ὄρει τοῦ Λάτρου εὐαγεστάτης μονῆς ἤτοι τοῦ Στύλου τὴν ἀρχήν τε καὶ προστασίαν ἐδέξατο παρὰ τοῦ ἀοιδίμου ἐν πατριάρχαις κυροῦ Κοσμᾶ καὶ μέχρι μέν τινων οὐκ ὀλίγων ἐνιαυτῶν καλῶς τὰ τῆς ἡγουμενείας διεῖπε καὶ τὸ προσὸν αὐτῷ ποίμνιον λογικὸν τῆς ἀλόγου τῶν αἱμοβόρων ἐθνῶν καὶ ὀλεθρίου ὁρμῆς ἀθιγὲς διετήρει. πάντα τε τὰ πρὸς χρείαν σωματικὴν ἐνδεχομένως αὐτῷ ἐπιχορηγῶν, οὐμενοῦν ἠμέλει τῆς πνευματικῆς τε καὶ λογικῆς, ἀλλὰ ταύτης καὶ μᾶλλον τοῖς ὑπ' αὐτὸν μετεδίδου πλουσίως, προσεπιβελτιῶν δὲ τῇ μονῇ καὶ πρὸς τὴν κρείττω ὄψιν μετασκευάζων αὐτὴν καὶ τὸν εἰς οὐδὲν χρηματίζοντα Στύλον καὶ πέτραν μόνον ὁρώμενον τοῖς παριοῦσιν ὑψηλὴν εἰς καστέλλιον ἀπήρτισε πρὸς σωτηρίαν τῶν ἐν τῇ μονῇ τελούντων ἁπάντων. τὰ νῦν δέ, οὐκ οἶδ' ὅθεν ὀκλάσας, εἴθ' ὑπὸ γήρως, εἴθ' ὑπ' ἄλλης περιπετείας τινός, ᾑρετίσατο τὴν τῆς ῥηθείσης μονῆς προστασίαν καταλιπεῖν καὶ τὸν πάντη ἐρημικόν τε καὶ ἡσύχιον βίον ἀπροσκόπως μετέρχεσθαι μόνος πρὸς μόνον τὸ θεῖον σχολάζων καὶ μήτε βιωτικαῖς τισιν ἐνησχολῆσθαι συγχύσεσι, μήτε μὴν ὅλως πρὸς ἄλλο τι τῶν τοὺς πολλοὺς ἐμποιούντων περισπασμοὺς ἀκουσίως καθέλκεσθαι κἀντεῦθεν τῆς πνευματικῆς ἡσυχίας καὶ φίλης διαγωγῆς ἐστερῆσθαι, ᾗ δὴ τὸν ἄνθρωπον θεοειδῆ, κατὰ τὴν κυριακὴν φωνήν, ἀπ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

εργάζεται. καὶ διὰ τοῦτο εἰς μέσον στὰς ἐπ᾽ ὄψει τοῦ τηνικαῦτα παρατυχόντος ἡμῖν συνεδρίου ἱερωτάτου τήν τε παραίτησιν τῆς οἰκείας ἀρχῆς ἐγγράφως κεκόμικε καὶ τὰ προσόντα τούτῳ τῶν πρὸ ἡμῶν ἁγιωτάτων ἀρχιερέων ἔγγραφα ὑπεδείκνυεν, ἀξιῶν ὁμοῦ μὲν καὶ τῆς ἡγουμενείας τῆς ῥηθείσης μονῆς τοῦ Λάτρου τὴν πρόνοιαν ἡμᾶς ποιήσασθαι, ὁμοῦ δὲ καὶ τὰ ἐπιβραβευθέντα αὐτῷ πατριαρχικὰ ἔγγραφα τὸ κῦρος σχεῖν ἰσχυρότατόν τε καὶ πάγιον δι᾽ ὑπομνήματος ἡμετέρου. καὶ προσεδέξατο τοῦτον ἡ μετριότης ἡμῶν εὐμενέστατα καὶ τὸ ἐντελὲς τῇ τούτου δεήσει τάχιον ἐχαρίσατο· ἐπεὶ γὰρ περί τε τῶν ἱερῶν τῆς τοιαύτης μονῆς καὶ τῶν λεγομένων ἀποκεῖσθαι ἐν ταύτῃ εἴκοσι τοῦ χρυσίου λιτρῶν, ἔτι δὲ καὶ τῶν ἐν ταύτῃ τῇ βασιλίδι τῶν πόλεων στεγονομικῶν οἰκημάτων, ἐζήτηται τηνικαῦτα καὶ δεδοκίμασται καὶ παντὸς ἀνώτερος ἀναπέφηνεν αἰτιάματος, ὡς Χριστοῦ δοῦλος ἀληθέστατος ὁ εὐλαβέστατος μοναχὸς Χριστόδουλος, σημείωμα δὲ προβέβηκεν ἐπὶ τῇ τοιαύτῃ διαγνώσει συνοδικῇ τὸ ἐλεύθερον τούτῳ περιποιούμενον καὶ ἀνενόχλητον πάντοθεν. ἑπομένως καὶ ἡ μετριότης ἡμῶν τό τε γεγαρὸν καὶ σεβάσμιον τοῦδε τοῦ ἀνδρὸς δι᾽ αἰδοῦς ἄγουσα, μάλιστα δὲ καὶ τὰ ῥηθέντα τῶν πρὸ ἡμῶν πατριαρχῶν ἔγγραφα εὑρηκυῖα, τό τε ὑπόμνημα τοῦ ἁγιωτάτου κυροῦ Κοσμᾶ καὶ τὸ τοῦ κυροῦ Εὐστρατίου συνοδικὸν σημείωμα[1]) πᾶν εἴ τι κάλλιστον τούτῳ ἐπιμαρτυροῦντα καὶ τὸ ἀνεπίληπτον περιποιούμενα πάντοθεν, διορίζεται τοῦ λοιποῦ, μήτε τῶν ἱερῶν ἕνεκεν τῆς μονῆς τοῦ Λάτρου, μήτε τῶν λεγομένων μάτην κατ᾽ ἐμπάθειαν φανερὰν προσεῖναί ποτε ἐν αὐτῇ εἴκοσι λιτρῶν τοῦ χρυσίου, μήτε μὴν τῶν ῥηθέντων στεγονομικῶν οἰκημάτων ὄχλησίν τινα τὸν αἰδέσιμον τουτονὶ μοναχὸν Χριστόδουλον παρ᾽ οἱουδήτινος προσώπου ὑφίστασθαι ἢ λόγους τούτων ἕνεκεν ὅλως ὑπέχειν τινὶ τῶν ἁπάντων, ἀλλ᾽ ἀνενόχλητον πάντῃ καὶ ἀκαταζήτητον διαμένειν καὶ πάσης τῆς οἱασοῦν ἀνώτερον συζητήσεως ἀπό τε τῶν μεθ᾽ ἡμᾶς πατριαρχῶν καὶ τοῦ κατὰ καιροὺς χαρτοφύλακος καὶ τοῦ μέρους τοῦ τοιούτου σεκρέτου καὶ τῶν τὴν ἡγουμενείαν ὕστερον ἀναδεξομένων τῆς τοιαύτης μονῆς ἢ τῶν οἰκονόμων ἢ τῶν ὑπ᾽ αὐτὴν μοναχῶν ἢ ἑτέρου τοῦ οἱουδήτινος προσώπου λαληθέντος ἐνταῦθα ἢ παρασιωπηθέντος, ὡς ἐλευθεριάζειν καθάπαξ ὀφείλοντος τοῦδε τοῦ σεβασμίου ἀνδρός. διὸ καὶ τοῖς μεθ᾽ ἡμᾶς ἐσομένοις ἁγιωτάτοις ἀρχιερεῦσι θεοῦ ἐν ἁγίῳ παρεγγυώμεθα πνεύματι τὸν ἀπὸ τῆς ζωαρχικῆς καὶ μακαρίας τριάδος δεσμὸν ἄλυτον αὐτοῖς ἐπιτιθέντες, ὥστε πάντα τὰ παρ᾽ ἡμῶν ᾠκονομημένα ἀναλλοίωτα καὶ ἀπαρεγχείρητα συντηρῆσαι καὶ μηδὲ τὸ βραχύτατον αὐτῶν ἀκυρῶσαι

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

μηνὸς ἰουνίου ἰνδικτιῶνος δεκάτης, ἔτους . . . . . . . . †

Ε.Υ.Δ της ΚΕ.Π ΙΩΑΝΝΙΝΑ 2006

† Ὁ ταπεινὸς μοναχὸς Νικόλαος καὶ ἀνάξιος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης †.

*Archetypum chart. cum plumbea bulla, in cuius altera parte est imago Sanctae Virginis sedentis in throno et tenentis in sinu infantem Iesum, ex altera vero literae* **ΝΙΚΟΛΑΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.** · *Flor. II. nro 17.*

¹) Non exstant.

## XI. [6595—1087], die 15. mensis iunii, ind. X.

*Anna Ducaena Dalassena, mater imperatoris Alexii I. Comneni, confirmat donationes a filio factas Sancto Christodulo et permutationem bonorum monasterii Pantepopti iubetque omnia referri in acta publica Myrelaei.*

Τὸ ἴσον τοῦ δεσποινικοῦ πιττακίου τοῦ καταπεμφθέντος εἰς τὸ σέκρετον τοῦ Μυρελαίου καὶ καταστρωθέντος εἰς μῆνα ἰούνιον ιε΄, ἡμέρᾳ τρίτῃ, ἰνδικτιῶνος δεκάτης.

† Ὁ περιπόθητός μου υἱὸς καὶ κράτιστος βασιλεὺς ἐδωρήσατο κατὰ τελείαν καὶ ἀναφαίρετον δεσποτείαν διὰ χρυσοβούλλου λόγου αὐτοῦ τῷ τε τιμιωτάτῳ μοναχῷ Χριστοδούλῳ τῷ Λατρηνῷ καὶ τῇ ἐξ αὐτοῦ συστάσῃ μονῇ τῆς παναχράντου μου δεσποίνης καὶ θεομήτορος, τό τε νησίδιον τὴν Λειψὼ ἐξ ὁλοκλήρου, καθώς ἐστι, καὶ ἀπὸ τῆς νήσου Λέρου τὸ προάστειον τὸ Παρθένιον, καὶ τὸ προάστειον τὰ Τεμένεια, μετὰ πάσης αὐτῶν τῆς περιοχῆς καὶ διακρατήσεως, ἔτι δὲ καὶ τὸ ἥμισυ τοῦ κάστρου τοῦ Παντελιοῦ ἐπονομαζομένου, παραχωρησάσης τῆς βασιλείας ἡμῶν τῷ τιμιωτάτῳ τούτῳ καὶ εὐλαβεῖ μοναχῷ τῆς αὐτῶν χρήσεως. ἐξεβλήθη δὲ καὶ προστάξει αὐτοῦ καὶ τὰ ὀνόματα καὶ τὰ τέλη τούτων τελείως ἀπὸ τοῦ ὀφείλοντος δοθῆναι πρακτικοῦ ἐν τῷ καθ᾽ ὑμᾶς σεκρέτῳ, ὡς ἂν μήτε νῦν παρεκβληθῶσι παρ᾽ ὑμῶν καὶ δοθῶσι τῷ μέλλοντι ποιήσασθαι τὴν ἀναγραφὴν τῶν λοιπῶν, μήτε εἰς τὸ ἑξῆς παρεκβάλλωνται, ἀλλὰ κατέχωσι ταῦτα οἱ μοναχοὶ ἀτελῶς τε καὶ ἀβαρῶς, καθὼς ὁ περὶ τούτων ἀπολυθεὶς χρυσόβουλλος λόγος διαλαμβάνει σαφέστερον, μόνης παραδόσεως τούτων προβῆναι ὀφειλούσης παρὰ τοῦ πατρικίου Εὐσταθίου καὶ ἀνθρώπου ἡμῶν· εἰ τάχα γὰρ καὶ πρόσταξις ἑτέρα κατεπέμφθη τῷ καθ᾽ ὑμᾶς σεκρέτῳ περὶ τούτων, διεξιοῦσα ἐξ ὁλοκλήρου τὴν νῆσον Λέρον δοθῆναι τῷ Μυρελαίῳ κατὰ τρόπον ἀνταλλαγῆς, πρὸς δὲ καὶ τὴν Λειψὼ καὶ τὴν Φαρμακόν, καὶ καθὼς ταύτας ἡ τοῦ Παντεπόπτου κατεῖχε μονή, ἀλλ᾽ ἐπεὶ εὐδόκησεν ὁ περιπόθητός μου υἱὸς καὶ βασιλεὺς δωρηθῆναι τὰ προδιαληφθέντα ἄνωθεν τῷ εὐλαβεῖ μοναχῷ Χριστοδούλῳ, ἀποδεκτέαν ἡγησαμένη καὶ ἡ βασιλεία